


ἀπόστολο(ι) εὐαγγέλια εἰς διαφόρους μνήμας ἁγίων τοῦ ἱεράρχ(ου)

Πρὸς Ἑβραίους. ἦχος α΄.

Τὸ στόμα μου λαλήσει σοφίαν. Ἀκούσατε ταῦτα πάντα
Ἀδελφοί, τοιοῦτος ἡμῖν ἔπρεπεν ἀρχιερεύς, ὅσιος, ἄκα-
κος, ἀμίαντος, κεχωρισμένος ἀπὸ τῶν ἁμαρτωλῶν
καὶ ὑψηλότερος τῶν οὐρανῶν γενόμενος. ὃς οὐκ ἔχει κα-
θ᾽ ἡμέραν ἀνάγκην ὥσπερ οἱ ἀρχιερεῖς, πρότερον ὑπ-
ὲρ τῶν ἰδίων ἁμαρτιῶν θυσίας ἀναφέρειν, ἔπειτα τῶν
τοῦ λαοῦ. τοῦτο γὰρ ἐποίησεν ἐφάπαξ, ἑαυτὸν ἀνενέ-
γκας. ὁ νόμος γὰρ ἀνθρώπους καθίστησιν ἀρχιερεῖς, ἔ-
χοντας ἀσθένειαν. ὁ λόγος δὲ τῆς ὁρκωμοσίας τῆς μετὰ
τὸν νόμον, υἱὸν εἰς τὸν αἰῶνα τετελειωμένον. κε-
φάλαιον δὲ ἐπὶ τοῖς λεγομένοις, τοιοῦτον ἔχομεν
ἀρχιερέα ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγ-
αλωσύνης ἐν τοῖς οὐρανοῖς τῶν ἁγίων λειτουργὸς καὶ
τῆς σκηνῆς τῆς ἀληθινῆς. ἣν ἔπηξεν ὁ κύριος καὶ οὐκ
ἄνθρωπος :~ + + + +

Ἐκ τοῦ κατὰ Ἰωάννην ἁγίου εὐαγγελίου

Εἶπεν ὁ κ(ύριο)ς· ἐγώ εἰμι ἡ θύρα· δι᾽ ἐμοῦ ἐάν τις εἰσέλθῃ σω-
θήσεται, καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται, καὶ νομ-
ὴν εὑρήσει. ὁ κλέπτης οὐκ ἔρχεται εἰ μὴ ἵνα κλέψῃ